λέγων μηδὲ παραγωγὰς εὐπρεπεῖς ἐπὶ πράγμασι φαύλοις μηχανώμενος πιθανὸς ἔστω καὶ πανοῦργος, ἀλλ᾽ ἐκεῖνο μᾶλλον οἰέσθω, μίμησιν εἶναι τὴν ποίησιν ἠθῶν καὶ βίων ἀνθρώπων οὐ τελείων οὐδὲ καθαρῶν οὐδ᾽ ἀνεπιλήπτων παντάπασιν, ἀλλὰ μεμειγμένων πάθεσι καὶ δόξαις ψευδέσι καὶ ἀγνοίαις, διὰ δ᾽ εὐφυΐαν αὐτοὺς πολλάκις μετατιθέντων πρὸς τὸ κρεῖττον. ἡ γὰρ τοιαύτη παρασκευὴ τοῦ νέου καὶ διάνοια, τοῖς μὲν εὖ λεγομένοις καὶ πραττομένοις ἐπαιρομένου καὶ συνενθουσιῶν- B τος, τὰ δὲ φαῦλα μὴ προσιεμένου καὶ δυσχεραίνοντος, ἀβλαβῆ παρέξει τὴν ἀκρόασιν. ὁ δὲ πάντα θαυμάζων καὶ πᾶσιν ἐξοικειούμενος καὶ καταδεδουλωμένος [τῇ ἕξει] τὴν κρίσιν ὑπὸ τῶν ἡρωϊκῶν ὀνομάτων, ὥσπερ οἱ τὴν Πλάτωνος ἀπομιμούμενοι κυρτότητα καὶ τὴν Ἀριστοτέλους τραυλότητα, λήσεται πρὸς πολλὰ τῶν φαύλων εὐχερὴς γενόμενος. δεῖ δὲ μὴ δειλῶς μηδ᾽ ὥσπερ ὑπὸ δεισιδαιμονίας ἐν ἱερῷ φρίττειν ἅπαντα καὶ προσκυνεῖν, ἀλλὰ θαρραλέως ἐθιζόμενον ἐπιφωνεῖν μηδὲν ἧττον τοῦ 'ὀρθῶς' καὶ 'πρεπόντως' τὸ 'οὐκ ὀρθῶς' καὶ 'οὐ προσῆκον'. οἷον ὁ Ἀχιλλεὺς ἐκκλησίαν συνάγει τῶν στρατιωτῶν νοσούν- C των, ἀσχάλλων μὲν ἀργοῦντι τῷ πολέμῳ μάλιστα διὰ τὴν ἐν ταῖς στρατείαις ἐπιφάνειαν αὐτοῦ καὶ δόξαν, ἰατρικὸς δ᾽ ὢν καὶ μεθ᾽ ἡμέραν ἐνάτην ἣ ταῦτα κρίνεσθαι πέφυκεν αἰσθόμενος οὐκ οὖσαν συνήθη τὴν νόσον οὐδὲ συνεστῶσαν ἀπὸ κοινῶν αἰτιῶν. ἀναστὰς ⟨δ᾽⟩ οὐ δημαγωγεῖ πρὸς τὸν ὄχλον, ἀλλὰ τῷ βασιλεῖ γίνεται σύμβουλος (*Α* 59)

> 'Ἀτρείδη, νῦν ἄμμε παλιμπλαγχθέντας ὀίω
> ἂψ ἀπονοστήσειν.'

ὀρθῶς ταῦτα καὶ μετρίως καὶ πρεπόντως. τοῦ δὲ μάντεως